ὅτι ἐκ τῆς κογχύλης ἐϛὶ τὸ βάμμα τοῦ πόκου, εἰληφὼς ἐκ τοῦ ποιμένος τὸν πόκον, ὡς μέγα δῶρον, τοῦτον προσήγαγε τῷ βασιλεῖ τῆς Τύρου Φοίνικι. καὶ ἐκπλαγεὶς καὶ αὐτὸς ἐπὶ τῇ θέᾳ τῆς ξένης χροιᾶς τοῦ βάμματος, θαυμάζων τὴν αὐτοῦ ἕυρησιν, ἐκέλευσεν ἐξ αὐτοῦ τοῦ βάμματος τῆς κογχύλης βαφῆναι ἐρέαν, καὶ γενέσθαι αὐτῷ περιβόλαιον βασιλικὸν, καὶ ἐφόρεσεν αὐτὸς πρῶτος περιβόλαιον ἐκ πορφύρας. καὶ πάντες ἐθαύμασαν τὴν βασιλικὴν ἐσθῆτα, ὡς ξένην θέαν. καὶ ἐξ ἐκείνου ἐκέλευσεν ὁ βασιλεὺς Φοίνιξ, μηδένα ὑπὸ τὴν αὐτοῦ βασιλείαν ὄντα τολμᾷν φορεῖν τὴν αὐτὴν ἐνάρετον ἐκ γῆς καὶ θαλάσσης οὖσαν φορεσίαν, εἰ μή τι αὐτὸν, καὶ τοὺς μετ' αὐτὸν βασιλεύοντας τῆς Φοινίκης, διὰ τὸ γινώσκεσθαι τὸν βασιλέα τῷ ϛρατῷ, καὶ παντὶ τῷ πλήθει ἐκ τῆς θαυ-